| Matt 28:1-10 | Luke 24:1-12 |
|---|---|
| Ὀψὲ δὲ σαββάτων, | |
| τῇ ἐπιφωσκούσῃ | |
| εἰς μίαν σαββάτων, | τῇ δὲ μιᾷ τῶν σαββάτων |
| | ὄρθρου βαθέως |
| ἦλθεν | ἐπὶ τὸ μνῆμα ἦλθον |
| Μαριὰμ ἡ Μαγδαληνὴ | |
| καὶ ἡ ἄλλη Μαρία | |
| θεωρῆσαι τὸν τάφον. | |
| | φέρουσαι ἃ ἡτοίμασαν ἀρώματα. |
| 2 καὶ ἰδοὺ σεισμὸς ἐγένετο μέγας· ἄγγελος γὰρ κυρίου καταβὰς ἐξ οὐρανοῦ καὶ προσελθὼν ἀπεκύλισεν τὸν λίθον καὶ ἐκάθητο ἐπάνω αὐτοῦ. 3 ἦν δὲ ἡ εἰδέα αὐτοῦ ὡς ἀστραπὴ καὶ τὸ ἔνδυμα αὐτοῦ λευκὸν ὡς χιών. 4 ἀπὸ δὲ τοῦ φόβου αὐτοῦ ἐσείσθησαν οἱ τηροῦντες καὶ ἐγενήθησαν ὡς νεκροί. | |
| | 2 εὗρον δὲ |
| | τὸν λίθον ἀποκεκυλισμένον |
| | ἀπὸ τοῦ μνημείου, 3 |
| | εἰσελθοῦσαι δὲ |
| | οὐχ εὗρον τὸ σῶμα |
| | τοῦ κυρίου Ἰησοῦ. |
| | 4 καὶ ἐγένετο ἐν τῷ ἀπορεῖσθαι αὐτὰς περὶ τούτου |
| | καὶ ἰδοὺ ἄνδρες δύο |
| | ἐπέστησαν αὐταῖς |
| | ἐν ἐσθῆτι ἀστραπτούσῃ. |
| | 5 ἐμφόβων δὲ γενομένων αὐτῶν |
| | καὶ κλινουσῶν τὰ πρόσωπα εἰς τὴν γῆν |

| | |
|---|---|
| 5 ἀποκριθεὶς δὲ ὁ ἄγγελος | |
| εἶπεν ταῖς γυναιξίν, | εἶπαν πρὸς αὐτάς, |
| Μὴ φοβεῖσθε ὑμεῖς, | |
| οἶδα γὰρ ὅτι Ἰησοῦν | |
| τὸν ἐσταυρωμένον ζητεῖτε· | Τί ζητεῖτε τὸν ζῶντα |
| | μετὰ τῶν νεκρῶν |
| 6 οὐκ ἔστιν ὧδε, | 6 οὐκ ἔστιν ὧδε, |
| ἠγέρθη γὰρ καθὼς εἶπεν· | ἀλλὰ ἠγέρθη. |
| | μνήσθητε ὡς ἐλάλησεν ὑμῖν ἔτι ὢν<br>ἐν τῇ Γαλιλαίᾳ, 7 λέγων τὸν υἱὸν<br>τοῦ ἀνθρώπου ὅτι δεῖ παραδοθῆναι<br>εἰς χεῖρας ἀνθρώπων ἁμαρτωλῶν<br>καὶ σταυρωθῆναι καὶ τῇ τρίτῃ<br>ἡμέρᾳ ἀναστῆναι. |
| δεῦτε | |
| ἴδετε τὸν τόπον ὅπου ἔκειτο. | |
| 7 καὶ ταχὺ πορευθεῖσαι | |
| εἴπατε τοῖς μαθηταῖς αὐτοῦ | |
| ὅτι Ἠγέρθη ἀπὸ τῶν νεκρῶν, | |
| καὶ ἰδοὺ προάγει ὑμᾶς | |
| εἰς τὴν Γαλιλαίαν, | |
| ἐκεῖ αὐτὸν ὄψεσθε· | |
| ἰδοὺ εἶπον ὑμῖν. | |
| 8 καὶ ἀπελθοῦσαι ταχὺ | |
| ἀπὸ τοῦ μνημείου | |
| μετὰ φόβου καὶ χαρᾶς μεγάλης | |
| ἔδραμον | |
| ἀπαγγεῖλαι τοῖς μαθηταῖς αὐτοῦ. | |
| 9 καὶ ἰδοὺ Ἰησοῦς ὑπήντησεν<br>αὐταῖς | |
| λέγων, Χαίρετε. αἱ δὲ προσελθοῦσαι<br>ἐκράτησαν αὐτοῦ τοὺς πόδας καὶ<br>προσεκύνησαν αὐτῷ. 10 τότε λέγει<br>αὐταῖς ὁ Ἰησοῦς, Μὴ φοβεῖσθε· | |
| | 8 καὶ ἐμνήσθησαν τῶν ῥημάτων<br>αὐτοῦ, |
| ὑπάγετε | 9 καὶ ὑποστρέψασαι |
| | ἀπὸ τοῦ μνημείου |
| ἀπαγγείλατε | ἀπήγγειλαν ταῦτα πάντα |
| τοῖς ἀδελφοῖς μου | τοῖς ἕνδεκα |
| | καὶ πᾶσιν τοῖς λοιποῖς. |

*ἵνα ἀπέλθωσιν εἰς τὴν Γαλιλαίαν,
κἀκεῖ με ὄψονται.*

*10 ἦσαν δὲ ἡ Μαγδαληνὴ Μαρία
καὶ Ἰωάννα καὶ Μαρία ἡ Ἰακώβου·
καὶ αἱ λοιπαὶ σὺν αὐταῖς ἔλεγον
πρὸς τοὺς ἀποστόλους ταῦτα.*

*11 καὶ ἐφάνησαν ἐνώπιον αὐτῶν
ὡσεὶ λῆρος τὰ ῥήματα ταῦτα, καὶ
ἠπίστουν αὐταῖς.*

*12 Ὁ δὲ Πέτρος ἀναστὰς ἔδραμεν
ἐπὶ τὸ μνημεῖον, καὶ παρακύψας
βλέπει τὰ ὀθόνια μόνα· καὶ
ἀπῆλθεν πρὸς ἑαυτὸν θαυμάζων τὸ
γεγονός.*

343 total words with 14 identicals = 4%